Χαραλάμπους Νεοφύτου Πρεσβυτέρου

ΠΡΟΣΕΥΧΗΤΑΡΙΟ

Κάθε μέρα πρωΐ καὶ βράδυ



ΠΡΟΛΟΓΟΣ

Ἀγαπητέ ἀναγνώστη,

Τό σύντομο, ἀλλά περιεκτικό αὐτό προσευχητάρι πού κρατᾶς στά χέρια σου τό συνθέσαμε γιά νά σε βοηθήσουμε νά ἔχεις καθημερινή ἐπαφή μέ τόν Πλάστη σου, γιατί ἐσύ τήν ἐχεις ἀνάγκη αὐτή τήν ἐπαφή, ἐπειδή συναντᾶς καθημερινές δυσκολίες, ἀλλά καί ὁ Πλάστης μας εὐαρεστεῖται ὅταν τόν πλησιάζεις καί σέ στηρίζει στόν ἀγώνα σου.

Ἡ προσευχή εἶναι ἀναγκαῖον ἔργο τῆς ψυχῆς κάθε ἀνθρώπου, γιατί ἀπό τή φύση τῆς ἀναζητᾷ τόν δημιουργό της. Εἶναι ἀναγκαῖο ἔργο ἡ προσευχή, γιατί εἶναι τό μέσο μέ τό ὁποῖο ἐπικοινωνεῖ ὁ ἄνθρωπος μέ τό Θεό καί Πατέρα του. Εἶναι τό μέσο μέ τό ὁποῖο ὁ τα-

πεινός ἄνθρωπος ἑλκύει τή Χάρη τοῦ Θεοῦ στή ψυχή του καί ἁγιάζει τόν ἑαυτό του καί λαμβάνει δυνάμεις γιά τόν ἀγῶνα τῆς ζωῆς στόν ἐφήμερο τοῦτο κόσμο. Γιά νά βοηθήσουμε στό ἔργο αὐτό, τῆς προσευχῆς, ἑτοιμάσαμε τό μικρό αὐτό τεῦχος, πού ἀποτελεῖται ἀπό ἐκλογή διαφόρων Πατερικῶν προσευχῶν, τῆς Ἐκκλησίας μας, ἔτσι πού νά βρίσκουν οἱ ἐμπερίστατοι ἀδελφοί μας βοήθεια γιά τήν προσευχή τους καί νά ἀποφεύγουν τίς διάφορες δικαιολογίες. Γιατί τή στιγμή πού θά βροῦν γιά κάθε μέρα διάφορες προσευχές ἕτοιμες ἀπό τήν πεῖρα τῶν Πατέρων μας δέν θά προβάλλουν τίς συνήθεις δικαιολογίες.

Ἐλπίζω καί εὔχομαι τό πάρον νά φανεῖ χρήσιμο σέ κάθε χριστιανό πού

θά τό χρησιμοποιήσει γιά τήν προσευχή του.

ΔΕΥΤΕΡΑ ΠΡΩΪ

Χριστανέ μου, ὅταν ξυπνήσεις τὸ πρωϊ στάσου μὲ εὐλάβεια πρὸς ἀνατολὰς καὶ λέγε:

Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν.

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος καὶ σῶσον ἀγαθὲ τάς ψυχὰς ἡμῶν.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (τρεῖς)

Δόξα, καὶ νῦν.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς Οὐρανοῖς, ἁγιασθήτω τό ὄνομά σου. ἐλθέτω ἡ βασιλεία σου. γενηθήτω τό θέλημά σου ὡς ἐν οὐρανῷ καί ἐπί τῆς γής. Τόν ἄρτον ἡμῶν τόν ἐπιούσιον δός ἡμῖν σήμερον καί ἄφες ἡμῖν τά ὀφειλήματα ἡμῶν, ὡς καί ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν καί μή εἰσενέγκης ἡμᾶς είς πειρασμόν, ἀλλά ρύσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καί ἡ δύναμις καί ἡ δόξα. τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί είς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ τὰ παρόντα Τριαδικὰ τροπάρια.

Ἐξεγερθέντες τοῦ ὕπνου, προσπίπτομεν σοί, ἀγαθέ, καὶ τῶν Ἀγγέλων τὸν ὕμνον βοωμεν σοί, δυνατέ. Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός. διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Δόξα. Ἦχος β

Τῆς κλίνης καὶ τοῦ ὕπνου ἐξεγείρας μέ, Κύριε, τὸν νοῦν μου φώτισον, καὶ τὴν καρδίαν καὶ τὰ χείλη μου ἄνοιξον, εἰς τὸ ὑμνεῖν σέ, ἁγία Τριάς. Ἅγιος, Ἅγιος, Ἅγιος εἶ Θεός. διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Καὶ νῦν. Ἦχος γ.

Ἀθρόον ὁ Κριτὴς ἐπελεύσεται, καὶ ἑκάστου αἱ πράξεις γυμνωθήσονται. Ἀλλὰ φόβῳ κράξωμεν ἐν τῷ μέσῳ τῆς νυκτὸς Ἅγιος, Ἅγιος, Ἅγιος εἶ Θεός. διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Ἐκ τοῦ ὕπνου ἐξανιστάμενος εὐχαριστῶ σοὶ ἁγία Τριάς, ὅτι διὰ τὴν πολλὴν σοῦ ἀγαθότητα καὶ μακροθυμίαν οὐκ ὠργίσθης ἐμοὶ τῷ ῥᾳθύμῳ καὶ ἁμαρτωλῷ οὐδὲ συναπώλεσας μὲ ταῖς ἀνομίαις μου, ἀλλ' ἐφιλανθρωπεύσω συνήθως, καὶ πρὸς ἀπόγνωσιν κείμενον ἤγειρας μὲ εἰς τὸ ὀρθρίσαι καὶ δοξολογῆσαι τὸ κράτος σου καὶ νῦν φώτισόν μου τὰ ὄμματα τῆς διανοίας. ἄνοιξόν μου τὸ στόμα, τοῦ μελετᾶν τὰ λόγιά σου καὶ συνιέναι τάς ἐντολάς σου καὶ ποιεῖν τὸ θέλημά σου καὶ ψάλλειν σοι ἐν ἐξομολογήσει καρδίας καὶ ἀνυμνεῖν τὸ πανάγιον ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τὰ πιὸ πάνω θὰ πρέπει να τὰ ἐπαναλαμβάνουμε κάθε πρωί, γιατὶ εἶναι ἡ ἑωθινὴ προσευχὴ τῆς Ἐκκλησίας μας.

Ἐπισυνάπτουμε και τίς παρακάτω εὐχές.

Ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ἐξαναστήσας ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν καὶ ἐπισυναγαγὼν ἐπὶ τὴν ὥραν τῆς προσευχῆς, δὸς ἡμῖν χάριν ἐν ἀνοίξει τοῦ στοματος ἡμῶν καὶ πρόσδεξαι ἡμῶν τὴν κατὰ δύναμιν εὐχαριστίαν καὶ δίδαξον ἡμᾶς τὰ δικαιώματά σου, Ὅτι πρόσευξασθαι καθ' ὁ δεῖ οὐκ οἴδαμεν, ἐὰν μὴ σύ, Κύριε, τῷ Πνεύματί σου τῷ ἁγίῳ ὁδήγησης ἡμᾶς. Διο δεόμεθα σοῦ, εἰ τὶ ἡμάρτομεν μέχρι τῆς παρούσης ὥρας, ἄνες, ἄφες, συγ-

χώρησον. Ἐὰν γὰρ ἀνομίας παρατήρησης, Κύριε, Κύριε, τὶς ὑποστήσεται; Ὅτι παρὰ σοὶ ἡ ἀπολύτρωσις σὺ μόνος ἅγιος, βοηθός, κραταιός, ὑπερασπιστὴς τῆς ζωῆς ἡμῶν, καὶ ἐν σοὶ ἡ ὕμνησις ἡμῶν διὰ παντός. Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμὴν

Κύριε ὁ Θεός ἡμῶν, ὁ τήν τοῦ ὕπνου ρᾳθυμίαν ἀποσκεδάσας ἀφ' ἡμῶν, καί συγκαλέσας ἡμᾶς κλήσει ἁγία, τοῦ ἐν νυκτί ἐπάραι τάς χεῖρας ἡμῶν καί ἐξομολογείσθαι σοί ἐπί τά κρίματα τῆς δικαιοσύνης σου, πρόσδεξαι τάς δεήσεις ἡμῶν, τάς ἐντεύξεις, τάς ἐξομολογήσεις, τάς νυκτερινάς λατρείας. Καί χάρι-

σαι ἡμῖν, ὁ Θεός, πίστιν ἀκαταίσχυντον, ἐλπίδα βεβαίαν, ἀγάπην ἀνυπόκριτον, εὐλόγησον εἰσόδους καὶ ἐξόδους, πράξεις, ἔργα, λόγους, ἐνθυμήσεις. Καὶ δὸς ἡμῖν καταντῆσαι εἰς τάς ἀρχὰς τῆς ἡμέρας αἰνοῦντας, ὑμνούντας, εὐλογούντας τῆς σῆς ἀφράστου χρηστότητος τὴν ἀγαθότητα. Ὅτι ηὐλόγηται τὸ παναγιόν σου ὄνομα καὶ δεδόξασται ἡ βασιλεία, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κύριε, ρῦσαί μὲ τῶν πτωμάτων τῆς γλώσσης μου, Ὅτι καθ' ἑκάστην δἰ' αὐτῆς ἁμαρτάνω ὁ τάλας καί οὐκ αἰσθάνομαι.

Κύριε, ἀγαθήν μοί τήν ἡμέραν ταύτην καί ἀναμάρτητον δώρησαι, Ὅτι σύ εἰ ὁ δυνάμενος σώζειν τούς δούλούς σου, τούς ἁμαρτάνοντας καθ' ἑκάστην ὥραν.

Δἰ' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν Κύριε....

ΔΕΥΤΕΡΑ ΕΣΠΕΡΑΣ

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῶ.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ βασιλεῖ καὶ Θεῶ ἡμῶν.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ τῷ βασιλεῖ καὶ Θεῶ ἡμῶν.

Καὶ ἀμέσως τὸν Ν ψαλμό.

Ἐλέησον μὲ ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνον μὲ ἀπὸ τῆς ἀνομίάς μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισον μέ. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστιν διὰ παντός. Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθεὶς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαι σέ. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησε μὲ ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς καρδίας σου ἐδήλωσάς μοι. Ῥαντιεὶς μὲ ὑσσώπω, καὶ καθαρισθήσομαι. πλυνεῖς μέ, καὶ ὑπὲρ χιόνα

λευκανθήσομαι. Ἀκουτιείς μοι ἀγαλλία-σιν καὶ εὐφροσύνην. ἀγαλλιάσονται ὀ-στέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τάς ἀνομίάς μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θε-ός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀπορρίψης μὲ ἀπὸ τοῦ προσώπού σου καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλεις ἀπ' ἐμοῦ. Ἀπό-δος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σοῦ καὶ πνεύματι ἡγεμονικῷ στήριξον μέ. Διδάξω ἀνόμους τάς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ῥῦσαὶ μὲ ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρί-ας μου. ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε, τὰ χείλη μου ἀ-νοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου Ὅτι, εἰ ἠθέλησας θυσί-

αν, ἔδωκα ἂν ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένο καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Καί συνεχίζουμε με τις πιό κάτω εὐχές

Ἐὐχή.

Δεσπότα, Κύριε, Ἰησοῦ Χριστέ, Υἱὲ καὶ Λόγε τοῦ Πατρός, ἄναρχε καὶ συνάναρχε τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ῥᾳθύμῳ. Γινώσκεις Δεσπότα, τὴν ὀλιγωρίαν τῆς

ταλαιπωρίας μου καὶ ὅσαι μὲ πολεμοῦσι πονηραὶ προλήψεις, καὶ βλέπεις τὴν κατ' ἐμοῦ πολυμήχανου κακίαν τοῦ ἐχθροῦ. Ἀντιλαβοῦ μου κατὰ τὸ μέγα σοῦ ἔλεος καὶ σῶσον μὲ τὸν ἀσεβή χάριτι καὶ οἰκτιρμοῖς πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ . πάντων σου τῶν ἁγίων. ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σὺ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν, ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεῦμά τι, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μνήσθητι, Δεσπότα φιλάνθρωπε, ὁ Θεὸς ἡμῶν, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.

Ἔτι μνήσθητι, Κύριε, τῶν ἀσθενούντων, τῶν αἰχμαλώτων, τῶν ἐν ἀποδημίαις ὄντων, τῶν ἐν θαλάσσῃ πλεόντων, τῶν ἱπταμένων, τῶν ἐν θλίψεσι καὶ τῶν ἐν ἀνάγκαις καὶ ἐλέησον αὐτούς.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τῶν ἐλεούντων καὶ διακονούντων, τῶν μισούντων καὶ ἀγαπώντων ἡμᾶς πάντων τῶν λοιπῶν ἀδελφῶν ἡμῶν.

Μνήσθητι, Κύριε, καὶ ὑπὲρ πάντων τῶν εὐσεβῶς κεκοιμημένων προπατόρων, πατέρων, ἀδελφῶν καὶ συγγενῶν καὶ παντὸς ὀρθοδόξου καὶ ἐλέησον αὐτοὺς καὶ πάντας ἡμᾶς ἀξίωσον τῆς οὐρανίου βασιλείας Σου. Ἀμήν

Ἐν τῇ σκέπῃ τῶν πτερύγων σου κοιμηθήσομαι καὶ ὑπνώσω, ὅτι σὺ Κύριε, καταμόνας ἐπ' ἐλπίδι κατώκοισας μέ.

Καὶ τὸ Δι εὐχῶν....

ΤΡΙΤΗ ΠΡΩΪ

Ὅπως τὴν Δευτέρα πρωί, κάθε πρωὶ ἐπαναλαμβάνουμέ τις πρωϊνές προσευχὲς καὶ προσθέτουμε καὶ τὶς προσευχὲς τῆς ἡμέρας, ποὺ διαφέρουν κάθε μέρα.

Πρωϊνὲς εὐχὲς τῆς Τρίτης.

Μετά τίς ἑωθινές εὐχές συνεχίζουμε μέ τίς προσευχές πού ἀκολουθοῦν.

Προσευχὴ τῶν Πατέρων τῆς Ὄπτι-
νας

Κύριε, βοήθησε μὲ ν' ἀντιμετωπίσω μὲ ψυχικὴ γαλήνη ὅλα, ὅσα θά μου φέρει ἡ σημερινὴ ἡμέρα. Βοήθησε μὲ να παραδοθῶ ὁλοκληρωτικὰ στο ἅγιο θέ-

λημά Σου. Στην κάθε ὥρα τῆς ἡμέρας φώτιζε μὲ καὶ δυνάμωνε μὲ για τὸ κάθε τι. Ὅποιες εἰδήσεις κι ἂν λάβω σήμερα, δίδαξε μὲ να τὶς δεχθῶ μὲ ἠρεμία καὶ μὲ τὴν ἀκλονήτη πεποίθηση ὅτι τίποτε δεν συμβαίνει, χωρὶς να τὸ ἐπιτρέψεις Ἐσύ. Καθοδήγησέ τις σκέψεις καὶ τὰ συναισθήματά μου σὲ ὅλα μου τὰ ἔργα καὶ τὰ λόγια. Στις ἀπρόοπτες περιστάσεις μὴ μ' ἀφήσεις να ξεχάσω ὅτι ὅλα παραχωροῦνται ἀπὸ Σένα. Δίδαξε μὲ να συμπεριφέρομαι σὲ κάθε μέλος τῆς οἰκογένειάς μου καὶ σ' ὅλους τοὺς συνανθρώπους μου μὲ εὐθύτητα καὶ συνέση, ὥστε να μὴ συγχύσω καὶ στενοχωρήσω κανένα.Κύριε δός μου δύναμη να ὑποφέρω τὸν κόσμο καὶ ὅλα τὰ γεγονότα τῆς μέρας αὐτῆς, σὲ ὅλη τῇ διάρκεια τῆς. Καθοδήγησε τή θελήσή μου καὶ δί-

δαξε μὲ να προσεύχομαι, να πιστεύω, να ὑπομένω, νά συγχωρῶ καὶ ν' ἀγαπῶ. Ἀμήν.

Εὐχὴ είς τὴν Παναγία Τριάδα.

Ὁ Θεός, ἡ ἁγιώτατη καὶ μακαριωτάτη Τριάς, σῶσον μέ. ὁ Θεός, τὴν αἴνεσίν μου μὴ παρασιωπήσεις. Πρόσχες τῇ δεήσει μου καὶ μὴ ἐγκαταλίπῃς μέ, Θεὲ ὑπεράγιε. Διὰ τοῦ Λόγου σου καὶ τοῦ Πνεύματός σου ἁγίασον μέ. τῷ Λόγῳ σου ἀνάπλασον μὲ καὶ τῷ Πνεύματί σου ὁδήγησον μέ, τὸν νοῦν μου ἐμψυχωσάτω ὁ Λόγος σου νεκρωθέντα καὶ τὴν θέλησίν μου τὸ Πνεῦμά σου τὸ πανάγιον, Μεγαλοδύναμε κραταιέ, Κύριε, ἐμφύτευσον τῇ καρδίαι μου τὴν ἀγάπην τῶν νόμων σου. τάς αἰσθήσεις μου τῷ

λόγῳ σου ὑπόταξον. τὸν λόγου μου ἐνίσχυσον. Τὸν νοῦν μου καταύγασον ταῖς ἀκτῖσι τῆς ἀληθείας σου. τὴν θέλησίν μου πρὸς σὲ ἐπίστρεψον. τὸ μόνον ἀληθῶς ἐφετὸν τὴν γλῶσσά μου παιδαγώγησαν, ἵνα λέγει καθ' ἕκαστη τὸ Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ ἐλεησον μέ.

Ἄλλη εὐχὴ

Ὢ Παναγία καὶ πανάμωμε Θεοτόκε Μαρία ἡ του Κυρίου Ἰησοῦ Χριστοῦ Μήτηρ, ἀξίωσον ὑπὲρ ἐμοῦ μεσιτεύσαι πρὸς αὐτόν, οὗπερ σκήνωμα γενέσθαι κατηξιώθης. Καὶ ὑμᾶς ὢ ἅγιε Μιχαὴλ καὶ Γαβριὴλ καὶ Ῥαφαήλ, καὶ σύμπαντες οἱ ἅγιοι χοροὶ ἀγγέλων τε καὶ ἀρχαγγέλων, Πατριαρχῶν καὶ Προφητῶν, ἀποστόλων τε καὶ Εὐαγγελιστῶν, Μαρτύρων καὶ Ὁμολογητῶν. ἱερέων καὶ λευΐτῶν, μοναστῶν καὶ παρθένων, καὶ πάντων τῶν δι-

καίων, πρὸς αὐτὸν τὸν ὑμᾶς ἐκλεξάμενον οὗ τῇ θεωρίᾳ ἐντρυφάτε προβάλλομαι, ἵνα ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ καθικετεύσητε τοῦ ῥυσθῆναὶ με ἀπὸ τῶν τοῦ διαβόλου ὀδόντων καὶ τοῦ αἰωνίου θανάτου, καὶ δωρηθῆναί μοι τὴν ἀγήρω ζωὴ κατὰ τὴν αὐτοῦ ἐπιείκειαν καὶ τὸ ἄπειρον ἔλεος. Ἀμήν.

Δι' εὐχῶν...

ΤΡΙΤΗ ΕΣΠΕΡΑΣ

Δόξα σοι, ὁ Θεὸς ἥμων, δόξα σοι.

Βασιλεῦ οὐράνιε Παράκλητε... Τὸ τρισάγιο, Πάτερ ἥμων... τὸν Ν' ψαλμό, καὶ οἱ Βραδυνὲς προσευχὲς τῆς Τρίτης.

Κύριε, ὁ Θεὸς ἡμῶν, μνήσθητι ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου, ἐν τῷ ἐπικαλεῖσθαι ἡμᾶς τὸ ἅγιον ὄνομά σου, καὶ μὴ καταισχύνῃς ἡμᾶς ἀπὸ τῆς προσδοκίας τοῦ ἐλέους σου, ἀλλὰ χάρισαι ἡμῖν, Κύριε, πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα. καὶ ἀξίωσον ἡμᾶς ἀγαπᾶν, καὶ φοβεῖσθαι σὲ ἐξ ὅλης τῆς καρδίας ἡμῶν, καὶ ποιεῖν ἐν πᾶσι τὸ θέλημά σου. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπας Θεὸς ὑπάρχεις, καὶ σοὶ τῇ δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεῦμά τι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἄλλη εὐχὴ

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἰ, Κύριε, ὁ Θεὸς τῶν Πατέ-

ρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἰ Κύριε, δίδαξον μὲ τὰ δικαιώματά σου. Εὐλογητὸς εἰ, Δεσπότα, συνέτισον μὲ τὰ δικαιώματά σου. Εὐλογητὸς εἰ 'Αγιέ, φώτισον μὲ τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸ αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ὑπὲρ τοῦ κόσμου.

Ὁ Θεός, ὁ Θεός: ἔτι καὶ ἔτι δέομαι σοῦ, μνήσθητι, Κύριε, χάριτι θείᾳ προ-

σέχων σοὶ πλεόντων, ὁδοιπορούντων, νοσούντων καμνώντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν προμήθειαν ποίησον. Μνήσθητι, Κύριε, χηρῶν, ὀρφανῶν, ξένων, προσηλύτων, παροίκων, πεινώντων, δειψώντων τὸ ἔλεός σου τὸ πλούσιο καὶ θειότατον. Μνήσθητι, Κύριε, τῶν ἐν φυλακαῖς, ἐν δεσμοῖς, ἐν ἀνάγκαις, ἐν ὀδυρμοῖς, ἐν στενοχωρίαις, καὶ πάντων τῶν ἐν καμάτῳ τοῖς νόσοις καμνόντων. μέγα ἔλεος κυκλώσει αὐτούς, φιλάνθρωπε. Μνήσθητι, Κύριε, θλιβομένων, πειραζομένων, στενοχωρουμένων καὶ πάντωντων ἐν ὀδύναις χαλεπαῖς κατατρυχωμένων. ἔκχυσον σταλαγμὸν ἡδονῆς εἰς καρδίας αὐτῶν τοῦ ἁγίου καὶ ζωοποιοῦ σοῦ Πνεύματος, ἵνα γλυκαζόμενοι, ἡδυνόμενοι, δοξάζωσι

τὴν σὴν ἀγαθότητα, καὶ μὴ ἐν τῇ βλασφημίᾳ φθείρονται.

Κύριε, ῥῦσαὶ μὲ ἀπὸ τῆς καταλαλιάς, τῆς κατακρίσεως, τῆς ἀργολογίας, τοῦ ψεύδους.

Εἰς χεῖράς σου Κύριε, παρατίθημι τὴν ψυχὴν καὶ τὸ σῶμα. Αὐτὸς μὲ ἐλέησον καὶ διαφύλαξον καὶ ζωὴν αἰώνιον χάρισαί μοι. Ἄμη.

Δι' εὐχῶν...

ΤΕΤΑΡΤΗ ΠΡΩΪ

Ὅπως τὴν Δευτέρα πρωί, κάθε πρωὶ ἐπαναλαμβάνουμε τις πρωϊνὲς προσευχὲς καὶ προσθέτουμε καὶ τὶς

προσευχὲς τῆς ἡμέρας που διαφέρουν κάθε μέρα.

Καί τις πιὸ κάτω εὐχὲς

Αἰνοῦμεν, ὑμνοῦμεν, εὐλογοῦμεν, καὶ εὐχαριστοῦμεν σοί, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὅτι παρήγαγες τὴν σκιὰν τῆς νυκτός, καὶ ἔδειξας ἡμῖν πάλιν τὸ φῶς τῆς ἡμέρας. Ἀλλ' ἱκετεύομεν τὴν σὴν ἀγαθότητα. ἰλάσθητι ταῖς ἁμαρτίαις ἥμων, καὶ πρόσδεξαι τὴν δέησιν ἡμῶν ἐν τῇ μεγάλῃ σου εὐσπλαγχνίᾳ, ὅτι πρὸς σὲ καταφεύγομεν, τὸν ἐλεήμονα καὶ παντοδύναμον Θεόν. Λάμψον ἐν ταῖς καρδίαις ἡμῶν τὸν ἀληθινὸν ἥλιον τῆς δικαωσύνης σου φώτισον τὸν νοῦν ἡμῶν, καὶ τάς αἰσθήσεις ὅλας διατήρησον, ἵνα, ὡς ἐν ἡμέρᾳ, εὐσχημόνως πε-

ριπατοῦντες τὴν ὁδὸν τῶν ἐντολῶν σου, κατantήσωμεν εἰς τὴν ζωὴν τὴν αἰώνιον ὅτι παρὰ σοί ἐστιν ἡ πηγὴ τῆς ζωῆς, καὶ ἐν ἀπολαύσει γενέσθαι καταξιωθῶμεν τοῦ ἀπροσίτου φωτός. Ὅτι σὺ εἰ ὁ Θεὸς ἡμῶν, καὶ σὺ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰώναστων αἰώνων. Ἀμήν.

Κύριε, δός μου τῇ δύναμη να ὑποφέρω τὸν κόπο καὶ ὅλα τὰ γεγονότα τῆς ἡμέρας αὐτῆς, σὲ ὅλη τῇ διάρκεια τῆς. Καθοδήγησε τῇ θελήσή μου καὶ δίδαξε μὲ να προσεύχομαι, να πιστεύω, να ὑπομένω,. να συγχωρωκαι ν' ἀγαπῶ. Ἀμήν.

Κύριε, ῥῦσαὶ με τῶν ῥυπαρῶν καὶ ἀκαθάρτων λογισμῶν, ὅτι λίαν εἰμὶ ἀ-

σθενὴς ὁ ταλαίπωρος, καὶ τῇ ψυχῇ καὶ τῇ σαρκὶ καὶ τῇ γνώμῃ καὶ τῷ λογισμῷ

Εὔχῃ τῆς Ὁσίας Σάρρας.

Κύριε, δίωξον ἀπ' ἐμοῦ πάντα ῥυπαρὸν λογισμόν, καὶ πάντα διαλογισμὸν αἰσχρὸν καὶ ἀνυπόστατου. Κύριε, ἐξάλειψον ἀπ' ἐμοῦ τὴν ἀμέλειαν, τὴν ῥᾳθυμίαν, τή λύπῃ, τή λήθῃ, τὴν ἀναισθησίαν, τὴν πώρωση καὶ τὴν αἰχμαλωσίαν τοῦ νοός μου, Κύριε, ὡς οἶδᾳς καὶ ὡς θέλεις, ἐλέησον μὲ καὶ συγχώρησον πάσας τάς ἀνομίας μου. καὶ ἐν ἡσυχίᾳ, ἐν μετανοίᾳ ἀγαθῇ, ἐν ἐξομολογήσει συναδιστάκτω, καὶ ἐν πίστει καθαρᾷ καὶ ἀμωμήτῳ, εὐδόκησον ἐξελθεῖν τὴν ἐλεη-

νήν μου ψυχὴν ἀπὸ τοῦ ἀθλίου τούτου σώματος.

Δι' εὐχῶν...

ΤΕΤΑΡΤΗ ΕΣΠΕΡΑΣ

Δόξα σοι, ὁ Θεὸς ἥμων, δόξα σοι.

Βασιλεῦ οὐράνιε Παράκλητε...Τὸ τρισάγιο. Πάτερ ἡμῶν... τὸν Ν' ψαλμό, σελ. Καὶ τίς ἀκόλουθες εὖχες.

Εὐλογητὸς εἰ Κύριε, ὁ ποιήσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν, ὁ ποιήσας ἡμέραν εἰς ἔργα φωτὸς καὶ νύκτα εἰς ἀνάπαυσιν τῆς ἀνθρωπίνης φύσεως. Ὅθεν καὶ ἡμεῖς οἱ δοῦλοι σου καὶ σοὶ ἱκέται, καταξιωθέντες διανύσαι τὸ μῆκος τῆς ἡμέρας καὶ ἐλθεῖν εἰς τὴν

ὥραν ταύτην τῆς προσευχῆς, ὑμνοῦμέν σου τὸ πανάγιον ὄνομα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἄλλη εὐχὴ

Κύριε, ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα σῶσον μὲ καὶ δώρησαί μοι τὴν φυσικὴν στάσιν τοῦ νοός μου εἰς ἀνάμνησιν τοῦ πολυποθήτου ὀνόματός σου, εἰς ἐπίκλησιν τῶν δεόντων καὶ ὑπομονὴν τῶν ἐπερχομένων. Εἰρηνικὴν καὶ ἀναμάρτητον παράσχου μοι τὴν νύκταν ταύτην διελθεῖν, ἡ ὑπερέχουσα πάντα νοῦν εἰρήνη, ὅτι εὐλογητὸς εἰ εἰς τοὺς αἰῶνας. Ἀμήν.

Κύριε, ὁ Θεὸς ἡμῶν, μνήσθητι ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου, ἐν τῷ ἐπικαλεῖσθαι ἡμᾶς τὸ ἅγιον σνομά σου, καὶ μὴ καταιχύνης ἡμᾶς ἀπὸ τῆς προσδοκίας τοῦ ἐλέους σου, ἀλλὰ χάρισαι ἡμῖν, Κύριε, πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα. καὶ ἀξίωσον ἡμᾶς ἀγαπᾶν, καὶ φοβεῖσθαι σὲ ἐξ ὅλης τῆς καρδίας ἡμῶν, καὶ ποιεῖν ἐν πᾶσι τὸ θέλημά σου. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μὴ ἀποδοκιμάσης μὲ Σῶτέρ μου, τῇ ῥᾳθυμίᾳ τῆς ἁμαρτίας συνεχόμενον. διέγειρόν μου τὸν λογισμὸν πρὸς μετάνοιαν καὶ τοῦ σοῦ ἀμπελῶνος ἐργάτην δό-

κιμον ἀνάδειξον μέ, δωρούμενός μοι τῆς ἑνδεκάτης ὥρας τὸν μισθὸν καὶ τὸ μέγα σοῦ ἔλεος. Ακόμα μιά εὐχή

Κύριε, σύ που δινεῖς τὸν ὕπνον ὡς λύτρωση καὶ ἀνάπαυσιν ἐκ τῶν κόπων τῆς ἡμέρας, δῶσε καὶ σὲ μένα Χριστέ μου, Λόγε τοῦ Θεοῦ, ὕπνον ἐλαφρὸν καὶ ἁπαλγμένον ἀπὸ κάθε ἁμαρτωλὴ καὶ αἰσχρὴ καὶ πονηρὴ φαντασία, ἐξεγεῖρε μὲ τὸ πρωί̈ σταθερὸ στο θελ ἡμὰ σοῦ για να ὕμνῳ τῇ δόξᾳ σου καὶ τῇ μεγαλοπρέπειά σου.

Δι' εὐχῶν....

ΠΕΜΠΤΗ ΠΡΩΪ

Ὅπως τῇ Δευτέρᾳ πρωί', κάθε πρωί. ἐπαναλαμβάνουμέ τις πρωϊνὲς προσευχὲς καὶ προσθέτουμε καὶ τὶς

προσευχὲς τῆς ἡμέρας που διαφέρουν κάθε μέρα.

Καὶ τὶς ἑπόμενες εὐχές.

Δόξα σοι βασιλεῦ, Θεὲ Παντοκράτωρ, ὅτι τῇ θείᾳ σοῦ καὶ φιλανθρώπῳ προνοίᾳ ἠξίωσας μὲ τὸν ἁμαρτωλὸν καὶ ἀνάξιον δοῦλον σοῦ ἐξ ὕπνου ἀναστῆναι. Δέξαι, Κύριε, καὶ τὴν φωνὴν τῆς δεήσεώς μου, ὡς τῶν ἁγίων καὶ νοερῶν σοῦ δυνάμεων καὶ εὐδόκησον ἐν καθαρᾷ καρδίᾳ καὶ πνεύματι ταπεινώσεως, προσενεχθήναι σοι τὴν ἐκ ῥυπαρῶν χειλέων μου αἴνεσιν, ὅπως καγὼ κοινωνὸς γένωμαι τῶν φρονίμων παρθένων, ἐν φαιδρᾷ λαμπηδόνι τῆς ψυχῆς μου, καὶ δοξάζω σέ, τὸν ἐν Πατρὶ καὶ Πνεύματι δοξαζόμενον Θεὸν Λόγον. Ἀμήν.

Εὐχαριστοῦμεν σοι Κύριε, ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν, ὅτι πάντα ποιεῖς εἰς εὐργεσίαν τῆς ζωῆς ἡμῶν, ἵνα διὰ παντὸς πρὸς σὲ ἀποβλέπωμεν τὸν Σωτηρὰ καὶ εὐεργέτην τῶν ἡμετέρων ψυχῶν, ὅτι διανέπαυσας ἡμᾶς ἐν τῷ παρελθόντι τῆς νυκτὸς μέτρῳ, καὶ ἐξήγειρας ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν, καὶ ἔστησας εἰς προσκύνησιν τοῦ τιμίου ὀνόματός σου. Διὸ δεόμεθα σοῦ, Κύριε, δὸς ἡμῖν χάριν καὶ δύναμιν, ἵνα καταξιωθῶμεν ψάλλειν σοι συνετῶς, καὶ προσεύχεσθαι ἀδιαλείπτως, ἐν φόβῳ καὶ τρόμῳ τὴν ἑαυτῶν σωτηρίαν κατεργαζόμενοι, διὰ τῆς ἀντιλήψεως τοῦ Χριστοῦ σου. Μνήσθητι, Κύριε, καὶ τῶν ἐν νυκτὶ πρὸς σὲ βοώντων. ἐπάκουσον αὐτῶν, καὶ ἐλέησον, καὶ σύντριψον ὑπὸ τοὺς πόδας αὐτῶν τοὺς ἀοράτους καὶ πολεμίους ἐ-

χθρούς. Σύ γὰρ εἰ ὁ βασιλεὺς τῆς εἰρήνης καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεῦμά τι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμὴν

Κύριε, ἀγαθὴν καὶ ἀναμάρτητον τὴν ἡμέραν ταύτην δώρησαί μοι

Κύριε, φώτισον τὸ τριμερὲς τῆς ἀθλίας ψυχῆς μου καὶ δίδαξον μὲ τὶ δεῖ ποιεῖν καὶ λέγειν.

Κύριε, δός μοι ταπείνωσιν, ἐκκοπὴν θελήματος καὶ ὑπακοὴν εἰς τὸ θέλημά σου. Ἀμήν.

Δι' εὐχῶν...

ΠΕΜΠΤΗ ΕΣΠΕΡΑΣ

Δόξα σοι, ὁ Θεὸς ἥμων, δόξα σοι. Καὶ τὰ ὑπόλοιπα ὡς συνήθως

Καὶ τὶς ἀκόλουθες εὐχές.

Κύριε, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεός, πολλὰ ἐλέη ἐποίησας μετ' ἐμοῦ, ὧν οὐκ ἤμην ἄξιος, ἃ οὐ προσεδόκων ἰδεῖν, καὶ τὶ ἀνταποδώσω τῇ σῇ ἀγαθότητι, εὔσπλαχνε, Κύριε; Εὐχαριστῶ σοῦ τῷ πολυυμνήτῳ ὀνόματι. Εὐχαριστῶ τῇ ἀνεικάστῳ σου οἰκονομίᾳ. Καὶ ἀπὸ τοῦ νῦν μὲ ἐλέησον καὶ ἀντιλαβοῦ μου καὶ σκέπασον μέ, δέσποτα τῶν ἁπάντων. Κύριε οὐρανοῦ καὶ γῆς καὶ πάσης κτίσεως ποιητά, σύ γινώσκεις τὴν ἀφροσύνην μου. σύ γὰρ ἐπίστασαι τὰ ἐν νυκτί, τὰ ἐν ἡμέρᾳ, τὰ ἑκούσια καὶ τὰ ἀκούσια

ἁμαρτήματά μου. Ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ἐξάλειψον αὐτὰ τῇ δρόσῳ τοῦ ἐλέους σου καὶ ἐλέησον καὶ βοήθησόν μοι, Υἱὲ τοῦ Θεοῦ. Βοήθησόν μοι ἀγαθὲ Κύριε, σύ γὰρ εἰ τὸ φῶς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή. σύ γινώσκεις τὸ ἀσθενὲς τῆς φύσεώς μου. οἷς ἐπίστασαι κρίμασι, Κύριε σῶσον μέ.

Ὑπὲρ τῶν μισούντων ἡμᾶς.

Κύριε, δὸς ἔλεος πᾶσι τοῖς ἁπλῶς λοιδοροῦσιν ἡμᾶς, ἡ βλασφημοῦσιν ἡ μισοῦσιν, ἤ τι ἕτερον ποιοῦσιν ἡμῖν σύ γὰρ Κύριε, γινώσκεις ὅτι κακείνους ὁ πονηρὸς διάβολος είς τὸ δυσῶδες καὶ ἀκόλαστον ἐκτρέπει, ὥσπερ κάμε καθ' ἑκάστην ποιεῖν καὶ παραπικραίνω τὸ θεῖον σου ὄνομα. Παρακαλῶ σὲ οὖν Πάτερ παντοκράτωρ Θεέ, καὶ Κύριε τοῦ ἐλέ-

ους, ἐπίσκεψαι ἐν ἐλέει πάντας τοὺς πονηρῶς πρὸς μὲ διακειμένους καὶ ποίησον αὐτοὺς φωστῆρας καὶ ἁγίους μεγάλους. Ἄγαθυνον αὐτούς, Κύριέ μου καὶ πράϋνον. εἰρήνευσον αὐτούς, Δέσποτά μου καὶ φώτισον καὶ τῆς αἰωνίου σου δόξῃς καταξίωσον αὐτοὺς ὡς ἀγαθὸς καὶ πολυέλεος.

Ὁ Θεός, ὁ Θεός μου, ἔτι καὶ ἔτι δέομαι σου, μνήσθητι Κύριε, πλεόντων ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν προμήθειαν ποίησον.

Εἰς χεῖράς σου Κύριε, παρατίθημι τὴν ψυχὴν καὶ τὸ σῶμα. Αὐτὸς μὲ ἐλέησον καὶ διαφύλαξον καὶ ζωὴν αἰώνιον χάρισαί μοι, Ἀμήν.

Καὶ τὸ Δι' εὐχῶν...

ΠΑΡΑΣΚΕΥΗ ΠΡΩΪ

Ἡ πρωϊνὴ Ἀκολουθία ὅπως περιγράφεται τῇ Δευτέρᾳ πρωί. Καὶ μετὰ οἱ προσευχές που ἀκολουθοῦν.

Σὲ εὐλογοῦμεν, Ὕψιστε Θεέ, Κύριε, τοῦ ἐλέους τὸν ποιοῦντα ἀεὶ μεθ' ἡμῶν μεγάλα τε καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὔκ ἐστιν ἀριθμός. τὸν παρασχόντα ἡμῖν τὸν ὕπνον εἰς ἀνάπαυσιν τοῦ κόπου τῆς πολυμόχθου σαρκός. Εὐχαριστοῦμεν σοι, ὅτι οὐ συναπώλεσας ἡμᾶς ταῖς ἀνομίαις ἡμῶν, ἀλλ' ἐφιλανθρωπεύσω συνήθως καὶ πρὸς ἀπόγνωσιν κειμένους ἡμᾶς ἤγειρας εἰς τὸ δοξολογῆσαι τὸ κράτος σου. Διό δυσωποῦμεν τὴν ἀνείκαστον σοῦ ἀγαθότητα. φώτισον ἡμῶν τοὺς τῆς διανοίας ὀφθαλμοὺς καὶ τὸν νοῦν ἡμῶν ἐκ τοῦ βαρέως ὕπνου τῆς ῥᾳθυμίας ἀνάστη-

σον. ἄνοιξον ἡμῶν τὸ στόμα καὶ πλήρωσον αὐτὸ τῆς σῆς αἰνέσεως, ὅπως ἂν δυνηθῶμεν ἀπερισπάστως ᾄδειν τε καὶ ψάλλειν καὶ ἐξομολογήσθαι σοι τῶν ἐν πᾶσι καὶ ὑπὸ πάντων δοξαζομένῳ Θεῷ τῷ ἀνάρχῳ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἄλλη εὐχὴ

Κύριε, ὁ ἐν ἁμαρτίαις περιπεσόντα τὸν ἄνθρωπον μὴ παριδών, ἀλλὰ τῆς οὐρανίου καταξιώσας βασιλείας διὰ τῆς ἐν τῷ σταυρῷ σου θείας οἰκονομίας, αὐτὸς ἀθάνατε βασιλεῦ, ζωοποίησον καὶ ἡμᾶς νεκρωθέντας ταῖς ἀνομίαις καὶ κοινωνοὺς τῶν θείων σοῦ παθημάτων καὶ τοῦ ζωηφόρου θανάτου καὶ τῆς ἐγέρσεως ἀνάδειξον, ὡς ψιλάνθρωπος, πρε-

σβείαις τῆς παναμώμου μητρός σου καὶ πάντων τῶν ἁγίων. Ἀμήν.

Κύριε, λύτρωσε μὲ τῆς φιληδονίας, τῆς φιλοδοξίας, τῆς φιλαργυρίας καὶ τῆς φιλαυτίας, τῆς μητρὸς πάντων τῶν κακῶν.

Δι' εὐχῶν...

ΠΑΡΑΣΚΕΥΗ ΕΣΠΕΡΑΣ

Δόξα σοι, ὁ Θεὸς ἥμων, δόξα σοι.

Βασιλεῦ οὐράνιε Παράκλητε Τὸ τρισάγιο, Πάτερ ἡμῶν τὸν Ν. ψαλμ. Ὅπως κάθε ἑσπέρας Καὶ τὶς ἀκόλουθες εὐχές.

Δέσποτα Κύριε, ἀκατάληπτε τὸ πανάγιον καὶ παντοδύναμον καὶ ζωοποιὸν Πνεῦμα, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμε-

νον καὶ ἐν Υἱῷ ἀναπαυόμενον, τὸ νοητὸν καὶ ἄληκτον καὶ ὑπὲρ ἔννοιαν φῶς, ἡ ἀσύγκριτος καὶ ζῶσα δύναμις τὸ διαλῦον ὄρη, τὸ τὰ μὴ ὄντα ποιοῦν, τὸ τὴν κτῆσιν τηροῦν ἀδιάπτωτον. τὸ δηιουργήσαν τοὺς οὐρανίους διακόσμους' τὸ παρέχον αὐτοῖς κατ' ἐξουσίαν ἀεὶ ἀπολαύειν τῆς ἁγιαστικῆς ἐπινοίάς σου. τὸ ἐνεργοῦν τὰ πάντα ἐν πᾶσι συμφερόντως κατὰ τὸ ἑκάστου μέτρο. Αὐτὸς οὖν Παράκλητε ἀγαθέ, μὴ ἐγκαταλίπῃς μὲ τὸν καθ' ἑκάστην σοὶ ἁμαρτάνοντα καὶ παροργίζοντα. Μὴ ἀποστῇς ἀπ' ἐμοῦ. Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε, τῆς σωτηρίας μου. Δέομαι τῆς σῆς ἀγαθότητος, Δεσπότα, δὸς χάριν συνέσεως τῇ ἐμοὶ ἀθλιότητι, τοῦ διανοεῖσθαι καὶ πράττειν τά σοι εὐάρεστα καμοί συμφέροντα. Ἐνίσχυσον μὲ πρὸς τὸ μὴ συ-

ναρπάζεσθαι καὶ συναπάγεσθαι τοῖς ματαίοις. Χάρισαί μοι τὸ ἀκενοδόξως ταπεινοῦσθαι, τὸ συμπάσχειν τοῖς πάσχουσι, τὸ ὑπομένειν τοὺς πειρασμούς, καὶ τὸ ἀνυποκρίτως καὶ ἀκαταγνώστως ἐργάζεσθαι τὰ σὰ θελήματα.

Ναὶ Δεσπότα τῶν ἁπάντων ὑπεράγαθε. λύτρωσε μὲ ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ τῶν ἐπερχομένων μοι πειρασμῶν. Ῥῦσαὶ τὴν ψυχήν μου ἐκ χειρὸς ὑπερηφάνων, ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου, καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ. Ὅτι ἐν σοὶ καὶ παρὰ σοῦ ἐστι τὸ ζῆν μέ, τὸ εἶναι, τὸ γινώσκειν πᾶν νόημα χρηστόν, καὶ σοὶ τὴν δόξαν ἀναξίοις χείλεσι, καὶ αἴνεσιν καὶ εὐχαριστίαν, πρὸς δὲ καὶ προσκύνησιν ἀναπέμπω ὁ ἁμαρτωλὸς ἐγὼ καὶ ἀνάξιος δοῦλος σου, σὺν τῷ ἀνάρχῳ προβολεῖ σου Πα-

τρί, καὶ τῷ ὁμοουσίῳ καὶ συμφυεῖ αὐτῷ Υἱῷ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ είς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πατὴρ τοῦ ἀληθινοῦ φωτός, ὁ τὴν ἡμέραν κοσμήσας τῷ οὐρανίῳ φωτὶ καὶ τὴν νύκτα φαιδρύνασταις αὐγαῖς τοῦ πυρός, ὅ του μέλλοντος αἰῶνος τῇ ἀνάπαυσιν εὐτρεπίσας τοῖς ἀγαπῶσι σὲ τὸ νοερὸν καὶ ἄπαυστον φῶς φώτισον ἡμῶν τάς καρδίας ἐν ἐπὶ γνώσει τῆς ἀληθείας καὶ ἀπρόσκοπτον τὴν ζωὴν ἡμῶν διατήρησον, παρεχόμενος ἡμῖν ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατεῖν καὶ δοξολογεῖν ἐν ἔργῳ καὶ λόγῳ τὸ πανάγιον ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ είς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δι' εὐχῶν ....

ΣΑΒΒΑΤΟ ΠΡΩΪ

Είς τό ὄνομα τοῦ Πατρός καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν.

Μετὰ τὶς Ἑωθινὲς προσευχὲς ὅπως τὴν Δευτέρα πρωί.

Καὶ τὶς εὐχές που ἀκολουθοῦν.

Αἰνοῦμεν, ὑμνοῦμεν, εὐλογοῦμεν, καὶ εὐχαριστοῦμεν σοί, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὅτι παρήγαγες τὴν σκιὰν τῆς νυκτός, καὶ ἔδειξας ἡμῖν πάλιν τὸ φῶς τῆς ἡμέρας. Ἀλλ' ἱκετεύομεν τὴν σὴν ἀγαθότητα. Ἰλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν, καὶ πρόσδεξαι τὴν δέησιν ἡμῶν ἐν τῇ μεγάλῃ σοῦ εὐσπλαχνίᾳ, ὅτι πρὸς σὲ καταφεύγομεν, τὸν ἐλεήμονα καὶ παντοδύναμον Θεόν. Λάμψον ἐν ταῖς καρδίαις ἡμῶν τὸν ἀληθινὸν ἥλιον τῆς

δικαιοσύνης σου. φώτισον τὸν νοῦν ἡμῶν, καὶ τάς αἰσθήσεις ὅλας διατήρησον, ἵνα, ὡς ἐν ἡμέρᾳ, εὐσχημόνως περιπατοῦντες τὴν 0δον τῶν ἐντολῶν σου, κατεντήσωμεν εἰς τὴν ζωὴν τὴν αἰώνιον. ὅτι παρὰ σοί ἐστιν ἡ πηγὴ τῆς ζωῆς, καὶ ἐν ἀπολαύσει γενέσθαι καταξιωθῶμεν τοῦ ἀπροσίτου φωτός. Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ τὴν ἑπόμενη.

Χριστέ, τὸ φῶς τὸ ἀληθινὸν τὸ φωτίζον καὶ ἁγιάζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. σημειωθήτω ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, ἵνα ἐν αὐτῷ ὀψόμεθα φῶς τὸ ἀπρόσι τὸν. καὶ κατεύθυνον τὰ διαβήματα ἡμῶν

πρὸς ἐργασίαν τῶν ἐντολῶν σου. πρεσβείαις τῆς παναχράντου σου μητρὸς καὶ πάντων τῶν ἁγίων. Ἀμήν.

Κύριε, λύτρωσαι μὲ τῆς φιληδονίας, τῆς φιλοδοξίας, τῆς φιλαργυρίας καὶ τῆς φιλαυτίας, τῆς μητρὸς πάντων τῶν κακῶν. Καὶ οἷς τρόποις οἶδας καὶ ἐπίστασαι, σῶσον μὲ τὸν ἀνάξιον δοῦλον σοῦ.
Δι' εὐχῶν....

ΣΑΒΒΑΤΟ ΕΣΠΕΡΑΣ

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι Βασιλεῦ οὐράνιε Παράκλητε... Τὸ τρισάγιο, Πάτερ ἡμῶν... Τὸν Ν Ψαλμό. Ὅπως κάθε ἑσπέρας.

Καὶ τὶς ἀκόλουθες εὐχές.

Παντοκράτορ Κύριε, Λόγε τοῦ Πατρός, ὁ αὐτοτελὴς Θεός, Ἰησοῦ Χριστέ,

ὁ διὰ τὰ ταχέα σοῦ σπλάχνα μηδέποτε χωριζόμενος τῶν σῶν οἰκετῶν, ἀλλ' ἀεὶ ἐν αὐτοῖς ἀναπαυόμενος. Ἰησοῦ ὁ καλὸς ποιμήν, μὴ παραδόης μὲ τῇ ἐπιβουλῇ τοῦ ὄφεως, μηδὲ ταῖς ἐπιθυμίαις τοῦ σατανᾶ καταλίπῃς μέ, ὅτι σπέρμα φθορὰς ἐν αὐτῷ πέφυκε. Σύ οὖν, βασιλεῦ πανάγιε, ὁ προσκυνητός, Ἰησοῦ Χριστέ, καθεύδοντα μὲ διαφύλαξον τῇ ἀθανάτῳ σοῦ βουλῇ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σοῦ Πνεύματι ἡγίασας τοὺς σοῦς μαθητάς, ῥυόμενος μὲ ἐκ τῆς ἐπιβουλῆς τοῦ ὄφεως. Δὸς δέ μοι τῷ ἀναξίῳ τὴν ἀγαλλίασιν τοῦ σωτηρίου μου ἐπὶ τηςκοίτης μου, καθαρὸν τὴν καρδίαν μου τῇ καθαρότητι τῶν λόγων σου, τὸν νοῦν μου φώτισον τῷ φωτὶ τῆς γνώσεως τοῦ εὐαγγελίου σου, τὴν ψυχήν μου τῇ ἀγάπῃ τοῦ σταυροῦ σου. Τὸ σῶμά μου

ἐν τῷ σῷ πάθει καὶ τῇ σῇ ἀπαθείᾳ τοὺς λογισμούς μου ἂν τῇ σὴν εἰρήνη διαφύλαξον καὶ ἀνάστησον μὲ ἐν τῷ καιρῷ τῆς προσευχῆς ὑμνεῖν καὶ δοξάζειν τὸ πανάγιο ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κύριε, Κύριε, σή ἐστιν ἡ ἡμέρα καὶ σοί ἐστιν ἡ νύξ, σύ κατηρτίσω φαῦσιν καὶ ἥλιον, σύ ἐποίησας πάντα τὰ ὡραῖα τῆς γῆς καὶ δεόμεθα τῆς σῆς ἀγαθότητος συνανάτειλον τῷ φωτὶ τῆς ἡμέρας τὰ πλούσια ἐλέη σου ἐπὶ τὴν ταπείνωσιν ἡμῶν. Ἐλευθέρωσον ἡμᾶς ἀπὸ τῶν ἔργων τοῦ σκότους καὶ τῶν ἐνθυμήσεων τῆς σκιᾶς τοῦ θανάτου καὶ πάσης ἐπιβουλῆς καὶ τέχνης τοῦ πονηροῦ. Ὅτι ἡ-

γίασται καὶ δεδόξασται τὸ πανάγιον ὄ-νομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰς, χεῖράς σου Κύριε, παρατίθημι τὴν ψυχὴν καὶ τὸ σῶμα. Αὐτὸς μὲ ἐλέη-σον καὶ διαφύλαξον καὶ ζωὴν αἰώνιον χάρισαί μοι. Ἀμήν.

Καὶ τὸ. Δι' εὐχῶν...

Σημείωση: Ὅσοι θὰ κοινωνήσουν τὴν Κυριακή, θὰ πρέπει να διαβάσουν ἀπόψε τὸ μικρὸ Ἀπόδειπνο καὶ μὲ τὴν Ἀκολουθία τῆς θείας Μεταλήψεως καὶ τὰ λοιπά.

ΚΥΡΙΑΚΗ ΠΡΩΙ

Ἀρχίζουμέ τις Ἐωθινὲς προσευχὲς ὅπως στην ἀρχή. καὶ τελειώνουμε μὲ τὴν εὐχὴ πρὸ τῆς ἐνάρξεως τῆς Θ. Λειτουργίας

Κύριε Ἰησοῦ Χριστέ, ὁ οἰκτιρμον καὶ ἐλεήμον πᾶσι τοῖς ἀληθῶς ἐπικαλουμένοις σέ, σοῦ δέομαι καὶ σὲ ἱκετεύω. ἀξίωσον μέ, ἵνα μετὰ σπουδαίας κατανύξεως, ἀγάπης, φόβου θείου καὶ πάσης προσοχῆς καρτερήσω ἕως τέλους τῆς θείας Λειτουργίας καὶ εἰς ἀκρόασιν τῶν ζωοποιῶν Μυστηρίων σου, ἐν συντετριμμένῃ καρδία καὶ πνεύματι ταπεινωσεως. Ναὶ Κύριε, ἐπάκουσον τῆς ταπεινῆς μου δεήσεως καὶ δώρησαί μοι ἄφεσιν τῶν πολλῶν μου πλημμελημάτων.

Σύ γὰρ εἶπας, Δεσπότα, τὸν ἐρχόμενον πρὸς μὲ οὐ μὴ ἐκβάλω ἔξω. ὅτι μόνος εὐλογημένος ὑπάρχεις εἰς τοὺς αἰῶνας. Ἀμήν.

Καὶ ἡ συνέχεια στην Ἐκκλησία.

ΚΥΡΙΑΚΗ ΕΣΠΕΡΑΣ

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι Βασιλεῦ οὐράνιε Παράκλητε... Τὸ τρισάγιο, Πάτερ ἡμῶν... Τὸν Ν Ψαλμό. Ὅπως κάθε ἑσπέρας.

Καὶ τὶς ἑπόμενες εὐχές.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἡ του Θεοῦ Πατρὸς εἰκὼν καὶ ἰσχὺς καὶ σοφία καὶ δύναμις σὺν τῷ ἁγίῳ καὶ

ζωοποιῷ σοῦ Πνεύματι. Τριὰς ἀμέριστε καὶ ὁμόθρονε, ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγοῦσα τὰ σύμπαντα, ἀξίωσον καὶ ἡμᾶς τοὺς ἁμαρτωλοὺς ἀνυμνεῖν καὶ αἰτεῖσθαι τοὺς οἰκτιρμούς σου, τῇ πρεσβείᾳ τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, τῶν ἁγίων καὶ νοερῶν σοῦ λειτουργῶν, τοῦ Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησαντων. Καὶ μὴ παραχωρήσῃς ἡμᾶς συναπολέσθαι ταῖς ἀνομίαις ἡμῶν, μηδὲ τοῖς ἀκαθάρτοις καὶ αἰσχροῖς λογισμοῖς ἡμῶν, ἀλλ' ἀξίωσον ἡμᾶς νεκρωθῆναι ἀπὸ πάντων τούτων καὶ ζῆσαι ἐν τῷ φωτὶ τῶν ἁγίων καὶ ζωηρῶν ἐντολῶν σου, ὅτι εὐλογητὸς εἰ εἰς τοὺς αἰῶνας ἀμήν.

Ἄκομα μία εὐχὴ ἐσπερινὴ

Κύριε, Σύ που δίνεις τὸν ὕπνο σὰν λύτρωση καὶ ἀνάπαυση ἀπὸ τοὺς κόπους τῆς ἡμέρας, δῶσε καὶ σὲ μένα Χριστέ μου, Λόγε τοῦ Θεοῦ, ὕπνον ἐλαφρὸν καὶ ἀπαλλαγμένον ἀπὸ κάθε φαντασία αἰσχρὴ καιπονηρή. ἐξεγεῖρε μὲ τὸ πρωὶ σταθερὸ στο θέλημά Σου, γιά νά ψάλλω χαρούμενος τή δόξᾳ Σου καὶ να βαδίζω τὸ δρόμο τῶν ἐντολῶν Σου. Ἀμήν.

Καὶ για ὅσους ἐκοινώνησαν:

Δεσπότα Χριστὲ ὁ Θεὸς ἡμῶν, βασιλεῦ τῶν αἰώνων, καὶ δημιουργὲ τῶν ἁπάντων, εὐχαριστῶ σοὶ ἐπὶ πᾶσι οἷς παρέχου ἡμῖν ἀγαθοῖς, καὶ ἐπὶ τῇ μεταλή-

ψει τῶν ἀχράντων καὶ ζωοποιῶν σοῦ Μυστηρίων. Δέομαι οὖν σοῦ, ἀγαθὲ καὶ φιλάνθρωπε. φύλαξον μὲ ὑπὸ τὴν σκέπην σου, καὶ ἐν τῇ τῶν πτερύγων σου σκιὰ καὶ δώρησαί μοι ἐν καθαρῷ συνειδότι, μέχρις ἐσχάτης μου ἀναπνοῆς, μετέχειν τῶν Ἁγιασμάτων σου, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον. Σὺ γὰρ εἰ ὁ ἄρτος τῆς ζωῆς, ἡ πηγὴ τοῦ ἁγιασμοῦ, ὁ δοτὴρ τῶν ἀγαθῶν. καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Δέσποινα, Θεοτόκε, τὸ φῶς τῆς ἐσκοτισμένης μου ψυχῆς, ἡ ἐλπίς, ἡ σκέπη, ἡ καταφυγή, ἡ παραμυθία, τὸ ἀγαλλίαμά μου, εὐχαριστῶ σοὶ ὅτι ἠξίωσας μὲ τὸν ἀνάξιον κοινωνὸν γενέ-

σθαι τοῦ Ἀχράντου Σώματος καὶ τοῦ τιμίου Αἵματος τοῦ Υἱοῦ σου. Ἀλλ' ἡ τεκούσα τὸ ἀληθινὸν φῶς φώτισόν μου τοὺς νοεροὺς ὀφθαλμοὺς τῆς καρδίας. Ἡ τὴν πηγὴν τῆς ἀθανασίας κυήσασα ζωοποίησον μὲ τὸν τεθανατωμένον τῇ ἁμαρτίᾳ. ἡ του ἐλεήμονος Θεοῦ φιλευσπλαχνος Μήτηρ ἐλέησον μέ, καὶ δὸς κατάνυξιν καὶ συντριβὴν ἐν τῇ καρδίᾳ μου, καὶ ταπείνωσιν ἐν τοῖς διανοήμασί μου, καὶ ἀνάκλησιν ἐν ταῖς αἰχμαλωσίαις τῶν λογισμῶν μου. Καὶ ἀξίωσον μέ, μέχρι τελευταίας μου ἀναπνοῆς, ἀκατακρίτως ὑποδέχεσθαι τῶν ἀχράντων Μυστηρίων τὸν ἁγιασμόν, είς ἴασιν ψυχῆς τε καὶ σώματος. Καὶ παρασχού μοι δάκρυα μετανοίας καὶ ἐξομολογήσεως είς τὸ ὑμνεὶν καὶ δοξάζειν σὲ πάσας τάς ἡμέρας τῆς ζωῆς μου. Ὅτι εὐλογημένη

καὶ δεδοξασμένη ὑπάρχεις είς τοὺς αἰῶνας Ἀμήν.

Καὶ τὸ Δι' εὐχῶν...

ΠΡΟΣΕΥΧΕΣ ΤΗΣ ΤΡΑΠΕΖΗΣ

Πρὶν καὶ μετὰ τὰ γεύματα
Τὸ μεσημέρι πρὶν τὸ φαγητό.

Ἀρχίζουμε μὲ τὸ Πάτερ ἡμῶν ... Δόξα Πατρί... καὶ νῦν... Κύριε, ἐλέησον, 3 φορὲς καὶ τὰ ἑξῆς:

Χριστέ, ὁ Θεὸς ἡμῶν, εὐλόγησον τὴν βρῶσιν καὶ τὴν πόσιν τῶν δούλων σοῦ, ὅτι ἅγιος εἰ πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετὰ τὸ φαγητό.

Εὐχαριστοῦμεν σοί, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὅτι ἐνέπλησας ἡμᾶς τῶν ἐπιγείων σοῦ ἀγαθῶν. μὴ στερήσῃς ἡμᾶς καὶ τῆς ἐπουρανίου σοῦ βασιλείας. Ἀλλὰ ὡς ἐν μέσῳ τῶν μαθητῶν σου παρεγένου Σωτήρ, τὴν εἰρήνην διδοὺς αὐτοῖς, ἐλθὲ καὶ μεθ ἡμῶν καισῶσον ἡμᾶς.

Δόξα σοι ὁ Θεός. Δι εὐχῶν...

Τὸ βράδυ πρὶν τὸ δεῖπνο.

Φαγόντες πένητες καὶ ἐμπλησθήσονται. καὶ αἰνέσουσι Κύριον οἱ ἐκζητουντες αὐτόν. ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος.

Δόξα Πατρί... καὶ νῦν... Κύριε, ἐλέησον (3) Χριστὲ ὁ Θεός, εὐλόγησον τὴν τράπεζα των δούλων σου...Δι’ εὐχών.

Ἄν ὑπάρχει κληρικός λέμε Πάτερ άγιε εὐλόγησον.

Μετὰ τὸ δεῖπνο

Εὔφρανας ἡμᾶς, Κύριε, ἐν τοῖς ποιήμασί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἠγαλλιασάμεθα. Ἐσημειώθη ἐφ ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε. ἔδωκας εὐφροσύνην εἰς τὰ καρδίας ἡμῶν, ἀπὸ καρποῦ σίτου οἴνου καὶ ἐλαίου ἐνεπλήσθημεν. Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτῷ κοιμηθησόμεθα καὶ ὑπνώσομεν. ὅτι σὺ μόνος Κύριε,. κατὰ μόνας ἐπ ἐλπίδι κατώκοισας ἡμᾶς.

Δι' εὐχῶν...

****

ΕΥΧΗ ΓΙΑ ΤΟΥΣ ΠΟΝΗΡΟΥΣ ΛΟΓΙΣΜΟΥΣ

Κύριε, Ἰησοῦ Χριστέ, Υἱὲ καὶ Λόγε τοῦ Θεοῦ, ἄναρχε καὶ αἰώνιε, ποὺ δεν ντροπιάζεις ὅσους προσβλέπουν στο ἔλεος καὶ στην προστασία Σου, ὁ πατέρας τῆς φιλανθρωπίας καὶ κάθε παρηγορίας, ἡ πηγὴ κάθε ἀγαθωσύνης' διῶξε ἀπὸ ἐμὲ τὸ δοῦλό Σου τοὺς πονηροὺς λογισμούς που μὲ παρενοχλοῦν νύχτα καὶ ἡμέρα. Ἐσὺ καρδιογνώστῃ Κύριε, ποὺ βλέπεις τὰ βάθη τῆς καρδίας μου, γνωρίζεις ὅτι αὐτοὶ ἔρχονται καὶ μὲ βασανίζουν χωρὶς τὸ θέλημά μου. Γι αὐτὸ Σὲ παρακαλῶ μὴν ἀφήσεις να γίνει αὐτὸ πηγὴ ἁμαρτίας, ἀλλὰ λυπήσου μὲ καὶ στεῖλε τή χάρη Σου καὶ διῶξε αὐτοὺς καὶ σκέπασε μὲ τὸν ἀνάξιο δοῦλό Σου.

Φώτισε μὲ Δεσπότα να μάθω καὶ να ἐκτελῶ τις ἅγιες ἐντολές Σου καὶ να ζήσω κοντά Σου, ἀναμάρτητε καὶ δοξασμένε Ἰησοῦ. ἂς εἶναι εὐλογημένο τὸ ὄνομά Σου στους αἰῶνες. Ἀμήν.

Για τὴν πύρωση τῶν νέων

Κύριε, εἶμαι ἄνθρωπος ἁμαρτωλὸς καὶ νέος τὴν ἡλικία, ἔχω μεγάλο πόλεμο ἀπὸ τὰ πάθη καὶ τὴν πύρωση τῆς σάρκας, καταφεύγω σ' Ἐσένα καὶ δέομαι σου, Χριστὲ ὁ Θεός μου. ἂς μή μου καταλογιστεῖ αὐτὸ σὰν ἁμαρτία, γνωρίζεις, Κύριε, τὸ ἄστατο τῆς ἀνθρωπίνης φύσεως καὶ σὲ παρακαλῶ συγχώρεσε μέ, γιατὶ μόνο Ἐσὺ ἔχεις τὴν ἐξουσία καὶ μόνο μὲ τὸ λόγο Σου να συγχωρεῖς τοῦ

κόσμου τις ἁμαρτίες. Ἂς εἶναι εὐλογημένο καὶ δοξασμένο τὸ ὄνομά Σου στους αἰῶνες τῶν αἰώνων. Ἀμὴν

ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΜΙΚΡΟΥ ΑΠΟΔΕΙΠΝΟΥ

Εις τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος καὶ σῶσον ἀγαθέ, τάς ψυχὰς ἡμῶν.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος ἐλέησον ἡμᾶς (ἐκ τρίτου).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἱς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δεσπότα, συγχώρησον τάς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τάς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε ἐλέησον. Κύριε ἐλέησον, Κύριε ἐλέησον.   Δόξα, καὶ νῦν.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλείαά σου· γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκης ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Κύριε ἐλέησον ιβ'. Δόξα, καὶ νῦν.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.
Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ βασιλεῖ ἡμῶν Θεῷ.
Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ, Χριστῷ τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

Ψαλμὸς ν' (50).

Ἐλέησον μέ, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνον μὲ ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισον μέ. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός. Σοὶ μόνῳ ἥμαρτον καὶ

τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαι σέ. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησε μὲ ἡ μήτηρ μου.Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ῥαντιεὶς μὲ ὑσσώπω καὶ καθαρισθήσομαι· πλυνεῖς μὲ καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιείς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τάς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀπορρίψης μὲ ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλης ἀπ' ἐμοῦ. Ἀπόδος μοι τὴν

ἀγαλλίασιν τοῦ σωτηρίου σοῦ, καὶ πνεύματι ἡγεμονικῷ στήριξον μέ. Διδάξω ἀνόμους τάς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ῥυσαὶ μὲ ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰ καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Ψαλμός ξθ' (69).

Ὁ Θεός, εἰς τὴν βοήθειάν μου πρόσχες· Κύριε, εἰς τὸ βοηθῆσαι μοι σπεῦσον. Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου. Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθήτωσαν οἱ βουλόμενοί μοι κακά. Ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές μοι· εὖγε, εὖγε. Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σο πάντες οἱ ζητοῦντες σέ, ὁ Θεός. Καὶ λεγέτωσαν διὰ παντός, μεγαλυνθήτω ὃ Κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριον σοῦ. Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης· ὁ Θεός, βοήθησόν μοι. Βοηθός μου καὶ ῥύστης μου εἰ σύ, Κύριε, μὴ χρονίσης.

Ψαλμὸς ρμβ' (142).

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, ἐἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου· Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σοῦ, ὅτι οὐ δικαιωθήσεται ἐνώπιον σοῦ πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισε μὲ ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος· καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τάς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρος σοί. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθή-

σομαι τοῖς καταβαίνουσιν εἲς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ἡ πορεύσομαι, ὅτι πρὸς σὲ ἧρα τὴν ψυχήν μου. Ἐξελοῦ μὲ ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξον μὲ τοῦ ποιεῖν τὸ θέλημά σου., ὅτι σὺ εἰ ὁ Θεός μου. Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει μὲ ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις μέ. Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου· καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλος σοῦ εἰμι.

Δοξολογία μικρά.

Σοὶ δόξα πρέπει, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δόξα ἐν ὑψίστοις Θεῶ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμεν σέ, εὐλογοῦμεν σε, προσκυνοῦμεν σέ, δοξολογοῦμεν σέ, εὐχαριστοῦμεν σοὶ διὰ τὴν μεγάλην σοῦ δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ· Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἰρῶν τὴν ἁμαρτίαν

τοῦ κόσμου, ἐλέησον ἡμᾶς ὁ αἰρῶν τάς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος ἅγιος, σύ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σέ, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεά. Ἐγὼ εἶπα· Κύριε, ἐλέησον μέ· ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτον σοί.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξον μὲ τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσι σέ.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμάς.

Εὐλογητὸς εἰ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμάς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἰ, Κύριε, δίδαξον μὲ τὰ δικαιώματά σου.

Εὐλογητὸς εἰ, Δεσπότα, συνέτισον μὲ τὰ δικαιώματά σου.

Εὐλογητὸς εἰ, Ἅγιε, φώτισον μὲ τοῖς δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων.

Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων, φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὐ τὰ πάντα ἐγένετο. Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ

σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπή-σαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ τα-φέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἥμερα κατὰ τάς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξι-ῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξῃς κρίναι ζῶντας καὶ νεκρούς· οὐ τῆς βασιλείας οὐκ ἔσται τέλος.

Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ κύ-ριον τὸ ζωοποιὸν τὸ ἐκ τοῦ Πατρὸς ἐκ-πορευόμενον, τὸ σύν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμε-νον, τὸ λάλησαν διὰ τῶν προφητῶν.

Εἰς μίαν ἁγίαν, καθολικὴν καὶ ἀπο-στολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἐν βά-πτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ

ἀνάστασιν νεκρῶν. Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Εἶτα τὸ κοντάκιον τῆς ἑορτῆς ἢ τῆς ἡμέρας, ἢ τὰ παρόντα τροπάρια.

Ἦχος δ'.

Ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ ποιῶν ἀεὶ μεθ' ἡμῶν κατὰ τὴν σὴν ἐπιεί-

κειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ κυβέρνησαν τὴν ζωὴν ἡμῶν.

Τῶν ἐν ὅλῳ τῷ κόσμῳ μαρτύρων σου, ὡς πορφύραν καὶ βύσσον τὰ αἵματα, ἡ Ἐκκλησία σου στολισαμένη, δι' αὐτῶν βόα σοι, Χριστὲ ὁ Θεός· τῷ λαῷ σου τοὺς οἰκτιρμούς σου κατάπεμψον, εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα.

Μετὰ τῶν Ἁγίων ἀνάπαυσον, Χριστέ, τάς ψυχὰς τῶν δούλων σοῦ, ἔνθα οὔκ ἐστι πόνος, οὐ λύπη, οὐ στεναγμός, ἀλλὰ ζωὴ ἀτελεύτητος.

Καὶ νῦν.

Τῇ πρεσβείᾳ Κύριε, πάντων τῶν Ἁγίων, καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρή-

νην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμον.

Εἶτα τὸ Κύριε ἐλεησον μ', καὶ τὴν εὐχὴν ταύτην.

Ὁ ἐν παντὶ καιρῷ καὶ πάσῃ ὥρᾳ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς προσκυνούμενος καὶ δοξαζόμενος Χριστὸς ὁ Θεός, ὁ μακρόθυμος, ὁ πολυέλεος, ὁ πολυέσπλαγχνος, ὁ τοὺς δικαίους ἀγαπῶν καὶ τοὺς ἁμαρτωλοὺς ἐλεῶν, ὁ πάντας καλῶν πρὸς σωτηρίαν διὰ τῆς ἐπαγγελίας τῶν μελλόντων ἀγαθῶν· αὐτός. Κύριε, πρόσδεξαι καὶ ἡμῶν ἐν τῇ ὥρᾳ ταύτῃ τάς ἐντεύξεις καὶ ἴθυνον τὴν ζωὴν ἡμῶν πρὸς τάς ἐντολάς σου. Τάς ψυχὰς ἡμῶν ἁγίασον, τὰ σώματα ἅγνισον, τοὺς λογισμοὺς διόρθωσον, τάς ἐννοίας καθαρὸν καὶ ῥῦσαι ἡμᾶς ἀπὸ πάσης θλίψεως, κακῶν καὶ ὀδύνης. Τείχισον ἡμᾶς ἁγίοις

σοῦ Ἀγγέλοις, ἵνα τῇ παρεμβολῇ αὐτῶν φρουρούμενοι καὶ ὁδηγούμενοι καταντήσωμεν εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ εἰς τὴν ἐπίγνωσιν τῆς ἀπροσίτου σου δόξης· ὅτι εὐλογητὸς εἰ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κύριε ἐλέησον γ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν.

Εὐχὴ εἰς τὴν ὑπεραγίαν Θεοτόκον.

Ἄσπιλε, ἀμόλυντε, ἄφθορε, ἄχραντε, ἁγνὴ Παρθένε, θεόνυμφε Δέσποινα· ἡ Θεὸν Λόγον τοῖς ἀνθρώποις τῇ παραδόξῳ σοῦ κυήσει ἑνώσασα καὶ τὴν ἀπωσθεῖσαν φύσιν τοῦ γένους ἡμῶν τοῖς οὐρανίοις συνάψασα· ἡ τῶν ἀπηλπισμένων μόνη ἔλπις καὶ τῶν πολεμουμένων

βοήθεια· ἡ ἑτοίμη ἀντίληψις τῶν εἰς σὲ προστρεχόντων, καὶ πάντων τῶν Χριστιανῶν τὸ καταφύγιον· μὴ βδελύξῃ μὲ τὸν ἁμαρτωλόν, τὸν ἐναγῆ, τὸν αἰσχροῖς λογισμοῖς καὶ λόγοις καὶ πράξεσιν ὅλον ἐμαυτὸν ἀχρειώσαντα, καὶ τῶν ἡδονῶν τοῦ βίου, ῥᾳθυμία γνώμης, δοῦλον γενόμενον· ἀλλ' ὡς τοῦ φιλανθρώπου Θεοῦ Μήτηρ, φιλανθρώπως σπλαγχνίθητι ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ καὶ ἀσώτῳ, καὶ δέξαι μου τὴν ἐκ ῥυπαρῶν χειλέων προσφερομένην σοὶ δέησιν, καὶ τὸν σὸν Υἱόν, καὶ ἡμῶν Δεσπότην καὶ Κύριον, τῇ μητρικῇ σοῦ παρρησίᾳ χρωμένῃ δυσώπησον, ἵνα ἀνοίξῃ κάμοι τὰ φιλάνθρωπα σπλάγχνα τῆς αὐτοῦ ἀγαθότητος καί, παριδών μου τὰ ἀναρίθμητα πταίσματα, ἐπιστρέψῃ μὲ πρὸς μετάνοιαν καὶ τῶν αὐτοῦ ἐντολῶν ἐργάτην

δόκιμον ἀναδείξῃ μέ. Καὶ πάρεσό μοι ἀεὶ ὡς ἐλεήμων καὶ συμπαθὴς καὶ φιλάγαθος· ἐν μὲν τῷ παρόντι βίῳ θερμὴ προστάτις καὶ βοηθός, τάς τῶν ἐναντίων ἐφόδους ἀποτειχίζουσα καὶ πρὸς σωτηρίαν καθοδηγοῦσα μέ, καὶ ἐν τῷ καιρῷ τῆς ἐξόδου μου τὴν ἀθλίαν μου ψυχὴν περιέπουσα καὶ τάς σκοτεινὰς ὄψεις τῶν πονηρῶν δαιμόνων πόρρω αὐτῆς ἀπελαύνουσα· ἐν δὲ τῇ φοβερᾷ ἥμερα τῆς κρίσεως, τῆς αἰωνίου μὲ ῥυομένη κολάσεως, καὶ τῆς ἀπορρήτου δόξῃς τοῦ σου Υἱοῦ καὶ Θεοῦ ἡμῶν κληρονόμον μὲ ἀποδεικνύουσα. Ἧς καὶ τύχοιμι, Δέσποινά μου, ὑπεραγία Θεοτόκε, διὰ τῆς σῆς μεσιτείας καὶ ἀντιλήψεως, χάριτι καὶ φιλανθρωπία τοῦ μονογενοῦς Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ

καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ευχή ἑτέρα εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

Καὶ δὸς ἡμῖν, Δεσπότα, πρὸς ὕπνον ἀπιούσιν, ἀνάπαυσιν σώματος καὶ ψυχῆς, καὶ διαφύλαξον ἡμᾶς ἀπὸ τοῦ ζοφεροῦ ὕπνου τῆς ἁμαρτίας καὶ ἀπὸ πάσης σκοτεινῆς καὶ νυκτερινῆς ἡδυπαθείας. Παῦσον τάς ὁρμὰς τῶν παθῶν, σβέσον τὰ πεπυρωμένα βέλη τοῦ πονηροῦ τὰ καθ' ἡμῶν δολίως κινούμενα. Τάς τῆς σαρκὸς ἡμῶν ἐπαναστάσεις κατάστειλον καὶ πᾶν γεῶδες καὶ ὑλικὸν ἡμῶν φρόνημα κοίμισον. Καὶ δώρησαι ἡμῖν, ὁ

Θεός, γρήγορον νοῦν, σώφρονα λογισμόν, καρδίαν νήφουσαν, ὕπνον ἐλαφρὸν καὶ πάσης σατανικῆς φαντασίας ἀπηλλαγμένον. Διανάστησον δὲ ἡμᾶς ἐν τῷ καιρῷ τῆς προσευχῆς ἐστηριγμένους ἐν ταῖς ἐντολαῖς σου καὶ τὴν μνήμην τῶν σῶν κριμάτων ἐν ἑαυτοῖς ἀπαράθραυστον ἔχοντας. Παννύχιον ἡμῖν τὴν σὴν δοξολογίαν χάρισαι εἰς τὸ ὑμνεῖν καὶ εὐλογεῖν καὶ δοξάζειν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὑπερένδοξε, ἀειπάρθενε, εὐλογημένη Θεοτόκε, προσάγαγε τὴν ἡμετέραν προσευχὴν τῷ Υἱῷ σου καὶ Θεῷ ἡμῶν, καὶ αἴτησαι ἵνα σώσῃ διὰ σοῦ τάς ψυχὰς ἡμῶν.

Ἡ ἐλπίς μου ὁ Πατήρ, καταφυγή μου ὁ Υἱός, σκέπη μου τὸ Πνεῦμα τὸ ἅγιον· Τριὰς ἁγία, δόξα σοι.

Τὴν πᾶσαν ἐλπίδα μου είς σὲ ἀνατίθημι, Μήτηρ τοῦ Θεοῦ, φύλαξον μὲ ὑπὸ τὴν σκέπην σου.

Εὐχὴ εἰς τὸν Ἄγγελον φύλακα τῆς του ἀνθρώπου ζωῆς.

Ἅγιε Ἄγγελε, ὁ ἐφεστὼς τῆς ἀθλίας μου ψυχῆς καὶ ταλαιπωροῦ μου ζωῆς, μὴ ἐγκαταλίπῃς μὲ τὸν ἁμαρτωλόν, μηδὲ ἀποστῇς ἀπ ἐμοῦ διὰ τὴν ἀκρασίαν μου· μὴ δώῃς χώραν τῷ πονηρῷ δαίμονι κατακυριεύσαί μου τῇ καταδυναστεία τοῦ θνητοῦ τοῦ τούτου σώματος· κράτησον τῆς ἀθλίας καὶ παρειμένης χειρός μου, καὶ ὁδήγησαν μὲ εἰς ὁδὸν σωτηρί-

ας. Ναί, Ἄγγελε τοῦ Θεοῦ, ὁ φύλαξ καὶ σκεπαστὴς τῆς ἀθλίας μου ψυχῆς καὶ τοῦ σώματος, πάντα μοι συγχώρησον, ὅσα σοὶ ἔθλιψα πάσας τάς ἡμέρας τῆς ζωῆς μου, καὶ εἴ τὶ ἥμαρτον τὴν σήμερον ἡμέραν· σκέπασον μὲ ἐν τῇ παρούσῃ νυκτὶ καὶ διαφύλαξον μὲ ἀπὸ πάσης ἐπηρείας τοῦ ἀντικειμένου, ἵνα μὴ ἐν τίνι ἁμαρτήματι παροργίσω τὸν Θεόν· καὶ πρέσβευε ὑπὲρ ἐμοῦ πρὸς τὸν Κύριον, τοῦ ἐπιστηρῖξαι μὲ ἐν τῷ φόβῳ αὐτοῦ, καὶ ἄξιον ἀναδείξαι μὲ δοῦλον τῆς αὐτοῦ ἀγαθότητος. Ἀμήν.

Δόξα, καὶ νῦν. Κύριε ἐλέησον γ', καὶ ἀπόλυσις.

Τὰ Ἀπολυτίκια τῶν ὀκτὼ Ἤχων που ψάλλονται κάθε Κυριακὴ στην Ἐκκλησία

Ἦχος ἀ'.

Τοῦ λίθου σφραγισθέντος ὑπὸ τῶν Ἰουδαίων καὶ στρατιωτῶν φύλασσόντων τὸ ἄχραντον σοῦ Σῶμα, ἀνέστης τριήμερος, Σωτήρ, δώρου-μένος τῷ κόσμῳ τὴν ζωήν· διὰ τοῦτο αἱ δυνάμεις τῶν οὐρανῶν ἐβόων σοι, Ζωοδότα· Δόξα τῇ Ἀναστάσει σου, Χριστέ, δόξα τῇ βασιλείᾳ σου, δόξα τῇ οἰκονομίᾳ σου, μόνε φιλάνθρωπε.

Ἦχος β'.

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ ζωὴ ἡ ἀθάνατος, τότε τὸν Ἅδη ἐνέκρωσας,τῇ ἀστραπῇ τῆς θεότητος· ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν ἀχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν πουρανίων ἐκραύγαζον· Ζωοδότα Χριστέ, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἦχος γ'.

Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλ-λιά-σθω τὰ ἐπίγεια, ὅτι ἐποίητε κράτος ἐν βραχίονι αὐτοῦ ὁ Κύριος· ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον. πρωτότοκος τῶν νεκρῶν ἐγένετο, ἐκ κοιλίας Ἅδου ἐρρύ-σατο ἡμᾶς, καὶ παρέσχε τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Ἦχος δ'.

Τὸ φαιδρὸν τῆς Ἀναστάσεως κήρυγ-μα, ἐκ τοῦ Ἀγγέλου μαθοῦσαι αἵ του Κυρίου Μαθήτριαι, καὶ τὴν πρόγονικὴν ἀπόφασιν ἀπορρίψασαι, τοῖς Ἀποστό-λοις καυχώμεναι ἔλεγον· Ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεός, δω-ρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Ἦχος πλ. ἀ'.

Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, τὸν ἐκ Παρθένου τεχθέντα είς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν, πιστοὶ καὶ προσκυνήσωμεν· ὅτι ηὐδόκησε, σαρκὶ ἀνελθεὶν ἐν τῷ σταυρῷ, καὶ θάνατον ὑπομείναι, καὶ ἐγείραι τοὺς τεθνεῶτας, ἐν τῇ ἐνδόξῳ Ἀναστάσει αὐτοῦ.

Ἦχος πλ. β'.

Ἀγγελικαὶ δυνάμεις ἐπὶ τὸ μνῆμά σου, καὶ οἱ φυλάσσοντες, ἀπενεκρώθησαν· καὶ ἵστατο Μαρία ἐν τῷ τάφῳ, ζητοῦσα τὸ ἄχραντον σου σῶμα. Ἐσκύλευσας τὸν Ἅδην, μὴ πειρασθεὶς ὑπ' αὐτοῦ· ὑπήντησας τῇ Παρθένῳ, δωρούμενος τὴν ζωήν. Ὁ ἀναστάς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.

Ἠχος βαρύς.

Κατέλυσας τῷ Σταυρῷ σου τὸν θάνατον· ἠνέῳξας τῷ λῃστῇ τὸν παράδεισον· τῶν μυροφόρων τὸν θρῆνον μετέβαλες, καὶ τοῖς σοῖς ἀποστόλοις κηρύττειν ἐπέταξας, ὅτι ἀνέστης, Χριστὲ ὁ Θεός, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος

Ἦχος πλ. δ'.

Ἐξ ὕψους κατῆλθες ὁ εὔσπλαγχνος, ταφὴν κατεδέξω τριήμερον, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῶν παθῶν.Ἡ ζωὴ καὶ ἡ ἀνάστασις ἡμῶν, Κύριε, δόξα σοι.